*ποιητικὸν αἴτιον, παράδειγμα, ὄργανον, τέλος. ὕλη μὲν οὖν ὡς ἐπὶ τέκτονος τὰ ξύλα· εἶδος δὲ τὸ ἀβάκιον ἤ τι τοιοῦτον· ποιητικὸν δὲ αὐτὸς ὁ τέκτων· παράδειγμα δὲ πρὸς ὃ τὴν φαντασίαν ἀπαγαγὼν ἐποίησεν· ὄργανον δὲ πρίων τυχὸν ἢ σκέπαρνον· τέλος δὲ δι᾽ ὃ γέγονεν. φασὶ τοίνυν οἱ πολλοὶ καὶ μὴ πρὸς ἀλήθειαν ὁρῶντες ῥήτορες ὅτι τῆς πολιτικῆς ὕλη μὲν τὸ ἐζωωμένον σῶμα, εἶδος δὲ ἡ τρυφή, ποιητικὸν δὲ αἴτιον ἡ ῥητορική, παράδειγμα δὲ ἡ τυραννίς (ὥσπερ γάρ, φασίν, οἱ τύραννοι πάντων κρατοῦσιν, οὕτως δεῖ κἀνταῦθα κατακρατεῖν), ὄργανον δὲ ἡ πειθώ, τέλος δὲ ἡ ἡδονή. ταῦτα μὲν ἐκεῖνοι. ἡμεῖς δέ φαμεν ὕλην μὲν τὴν ψυχήν, καὶ ταύτην οὐ τὴν λογικὴν ἀλλὰ καὶ τὴν τριμερῆ, πολιτείαν γὰρ μιμεῖται· καὶ ὥσπερ ἐν ταῖς πόλεσίν ἐστιν ἄρχων, εἰσὶ καὶ στρατιῶται, ἔτι δὲ καὶ θῆτες, οὕτως καὶ ἐν ἡμῖν ἀναλογεῖ τῷ μὲν ἄρχοντι ὁ λόγος, τῷ δὲ στρατιώτῃ ὁ θυμὸς μέσος ὢν καὶ ὑπακούων μὲν τῷ λόγῳ κελεύ-*
4 *ων δὲ καὶ τάττων τοὺς θῆτας, ὅ ἐστι τὴν ἐπιθυ|μίαν. ὕλη οὖν αὕτη ἡ τριμέρεια, θέλει γὰρ ὁ πολιτικὸς καὶ θυμοῦ-*

| | | |
|---|---|---|
| **mg. 1** | ὕλη | ξύλα |
| | εἶδος | ἀβάκιον |
| | ποιητικόν | τέκτων |
| | παράδειγμα | ἐννόημα |
| | ὄργανον | πρίων |
| | τέλος | διὸ γέγονεν |
| **13** (mg. inf.) | ἄρχων | λόγος |
| | στρατιώτης | θυμός |
| | θῆτες | ἐπιθυμία |

**17** (mg. inf.)

| πολιτικῆς αἴτια | κατὰ ῥήτορας | κατὰ φιλοσόφους |
|---|---|---|
| ὕλη | ἐζωωμένον σῶμα | ψυχὴ τριμερής |
| εἶδος | τρυφή | δικαιοσύνη καὶ σωφροσύνη |
| ποιητικόν | ῥητορική | ἐμφιλόσοφος ζωή |
| παραδειγματικόν | τυραννίς | κόσμος |
| ὀργανικόν | πειθώ | ἤθη καὶ παιδεία |
| τελικόν | ἡδονή | ἀγαθόν |